Πάλιν οὖν ὁ Φιλητᾶς ἔφη· «θεός ἐστιν, ὦ παῖδες, ὁ Ἔρως, νέος καὶ καλὸς ϗ πετόμενος· διὰ τοῦτο ϗ νεότητι χαίρει ϗ κάλλος διώκει ϗ τὰς ψυχὰς ἀναπτεροῖ. Δύναται δὲ τοσοῦτον ὅσον οὐδὲ ὁ Ζεύς. Κρατεῖ μὲν στοιχείων, κρατεῖ δὲ ἄστρων, κρατεῖ δὲ τῶν ὁμοίων θεῶν· οὐδὲ ὑμεῖς τοσοῦτον τῶν αἰγῶν ϗ τῶν προβάτων. Τὰ ἄνθη πάντα Ἔρωτος ἔργα· τὰ φυτὰ ταῦτα τούτου ποιήματα· διὰ τοῦτον ϗ ποταμοὶ ῥέουσι ϗ ἄνεμοι πνέουσιν. Ἔγνων δὲ ἐγὼ ϗ ταῦρον ἐρασθέντα, ϗ ὡς οἴστρῳ πληγεὶς ἐμυκᾶτο· ϗ τράγον φιλήσαντα αἶγα, ϗ ἠκολούθει πανταχοῦ. Αὐτὸς μὲν γὰρ ἤμην νέος ϗ ἠράσθην Ἀμαρυλλίδος· καὶ οὔτε τροφῆς ἐμεμνήμην οὔτε ποτὸν προσεφερόμην οὔτε ὕπνον ᾑρούμην. Ἤλγουν τὴν ψυχήν, τὴν καρδίαν ἐπαλλόμην, τὸ σῶμα ἐψυχόμην· ἐβόων ὡς παιόμενος, ἐσιώπων ὡς νεκρούμενος, εἰς ποταμοὺς ἐνέβαινον ὡς καόμενος. Ἐκάλουν τὸν Πᾶνα βοηθόν, ὡς ϗ αὐτὸν τῆς Πίτυος ἐρασθέντα· ἐπῄνουν τὴν Ἠχὼ τὸ Ἀμαρυλλίδος ὄνομα μετ' ἐμὲ καλοῦσαν· κατέκλων τὰς σύριγγας, ὅτι μοι τὰς μὲν βοῦς ἔθελγον, Ἀμαρυλλίδα δὲ οὐκ ἦγον. Ἔρωτος γὰρ οὐδὲν φάρμακον, οὐ πινόμενον, οὐκ ἐσθιόμενον, οὐκ ἐν ᾠδαῖς λαλούμενον, ὅτι μὴ φίλημα ϗ περιβολὴ ϗ συγκατακλιθῆναι γυμνοῖς σώμασι».

ΛΟΓΓΟΣ, Τὰ κατὰ Δάφνιν ϗ Χλόην 2.7.1-2.7.7